ρῶν περιαγωγῇ. πηδῆσαι, πυῤῥιχίσαι. πυῤῥίχη, εἶδος ἐ-
νόπλου ὀρχήσεως. εἴποις δ' ἂν ὀρχηστὴν, κοῦφον, ἐλα-
φρὸν, πηδητικὸν, ἁλτικὸν, εὐάρμοστον, εὔρυθμον, εὐσχή-
μονα, ὑγρὸν, πολυσχήμονα, ἐναργῆ, ἐνδεικτικὸν, δηλωτι-
κὸν, ἐπιδεικτικὸν, παντοδαπὸν, εὔτρεπτον, εὐτράπελον,
δημαγωγικὸν, δημοτερπῆ, ὑγρομελῆ, ὀχλοτερπῆ, ῥᾴδιον,
πρόχειρον, εὔκολον, εὐκαμπῆ, ἐπικλώμενον, ἐξυγραι-
97 νόμενον, *ταχύχειρα, ταχύπουν, εὐκέφαλον, εὔφορον,
ἰσόφορον, εὔτακτον, λυγιστικὸν, καὶ τὰ ὅμοια. Ἐρεῖς
δὲ ἐπὶ πράγματος, κουφότητα, ἐλαφρότητα, πήδημα,
ἅλμα, εὐαρμοστίαν, εὐρυθμίαν, εὐσχημοσύνην, ὑγρό-
τητα, ἐναργότητα, τέρψιν, πανήγυριν, ἔνδειξιν, δήλω-
σιν, ἐπίδειξιν, ῥᾳστώνην, εὐκολίαν, λυγισμὸν, παρα-
γωγὴν, κάμψιν, παραφορὰν, ὀξυχειρίαν, εὐποδίαν, εὐ-
χειρίαν, ταχυχειρίαν, εὐφορίαν, ἰσοφορίαν, εὐταξίαν.
98 *Ῥηματικῶς δὲ, κουφισθῆναι, ἐλαφρίσασθαι, πηδῆ-
σαι, παραδηλῶσαι, ἐπιδείξασθαι, ἐνδείξασθαι, παρεν-
δείξασθαι, παρεπιδείξασθαι. λυγίσαι τὸ σῶμα, κάμ-
ψαι, κλάσαι. Καὶ τὰ ἐπιῤῥήματα δὲ, ὀρχηστικῶς, εὐ-
εὐσχημόνως, πολυσχημόνως, εὐρύθμως, εὐαρμόστως,
ὑγρῶς, ἐναργῶς, ἐνδεικτικῶς, δηλωτικῶς, ἐπιδει-
κτικῶς, πανηγυρικῶς, τερπνῶς. ῥᾳδίως, εὐκόλως,
εὐφόρως, ἰσοφόρως, εὐτάκτως. τὰ γὰρ ἀπὸ τῶν ἄλ-
λων τραχέα.

## 99 *ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

### Περὶ εἰδῶν ὀρχήσεως.

Εἴδη δὲ ὀρχημάτων, ἐμμέλεια, τραγική. κόρδα-
κες, κωμικοί. σικιννὶς, σατυρική. ἐνόπλιοι ὀρχήσεις,
πυῤῥίχη τε, καὶ τελεσίας, ἐπώνυμοι δύο Κρητῶν ὀρ-
χηστῶν, Πυῤῥίχου τε καὶ Τελεσίου. ἐκαλεῖτο δέ τι
καὶ ξιφισμὸς, καὶ ποδισμὸς, καὶ ῥικνοῦσθαι, ὅπερ ἦν
τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν. ἦν δὲ καὶ κῶμος
εἶδος ὀρχήσεως. καὶ τετράκωμος, Ἡρακλέους ἱερὰ, καὶ
100 πολεμική. *ἦν δὲ καὶ κωμαστική. μάχην καὶ πληγὰς

ἔχουσα. καὶ ἡδύκωμος, ἡδίων. καὶ κνισμὸς, καὶ ὄκλα-
σμα. οὕτω γὰρ ἐν Θεσμοφοριαζούσαις ὀνομάζεται τὸ
ὄρχημα τὸ Περσικὸν καὶ σύντονον. τὴν δ' αὐτὴν
καὶ ὑγρὰν ὠνόμαζον. καὶ φαλλικὸν ὄρχημα ἐπὶ Διο-
νύσῳ. καὶ καλλίνικος ἐφ' Ἡρακλεῖ. καὶ κολαβρισμὸς
Θρᾴκιον ὄρχημα καὶ Καρικόν. ἦν δὲ καὶ τοῦτο ἐνό-
πλιον. καὶ βαυκισμὸς Βαύκου ὀρχηστοῦ κῶμος ἐπώνυ-
μος, ἁβρά τις ὄρχησις καὶ τὸ σῶμα ἐξυγραίνουσα.
*βακτριασμὸς δὲ, καὶ ἀπόκινος, καὶ ἀπόσεισις, ἀσελ- 101
γῆ εἴδη ὀρχήσεων, ἐν τῇ τῆς ὀσφύος περιφορᾷ, καὶ
στρόβιλος. ὁ δὲ μόθων, φορτικὸν ὄρχημα, καὶ ναυτι-
κόν. τὴν δὲ γέρανον κατὰ πλῆθος ὠρχοῦντο, ἕκαστος
ἐφ' ἑκάστῳ κατὰ στοῖχον, τὰ ἄκρα ἑκατέρωθεν τῶν
ἡγεμόνων ἐχόντων, τῶν περὶ Θησέα πρῶτον περὶ τὸν
Δήλιον βωμὸν ἀπομιμησαμένων τὴν ἀπὸ τοῦ λαβυ-
ρίνθου ἔξοδον. καὶ διποδία δὲ, ὄρχημα Λακωνικόν.
*ἦν δὲ καὶ γίγγρας πρὸς αὐλὸν ὄρχημα, ἐπώνυμον 102
τοῦ αὐλήματος. Ἑκατερίδες δὲ καὶ θερμαστρίδες,
ἔντονα ὀρχήματα, τὸ μὲν χειρῶν κίνησιν ἀσκοῦν, ἡ
δὲ θερμαστρὶς πηδητικόν. τὰ δὲ ἐκλακτίσματα γυναι-
κῶν ἦν ὀρχήματα. ἔδει γὰρ ὑπὲρ τὸν ὦμον ἐκλακτίσαι.
καὶ βίβασις δέ τι ἦν εἶδος Λακωνικῆς ὀρχήσεως, ἧς
καὶ τὰ ἆθλα προὐτίθετο οὐ τοῖς παισὶ μόνον, ἀλλὰ
καὶ ταῖς κόραις. ἔδει δὲ ἅλλεσθαι καὶ ψαύειν τοῖς
ποσὶ πρὸς τὰς πυγάς. καὶ ἀνηριθμεῖτο τὰ πηδήματα.
ὅθεν ἐπὶ μιᾶς ἦν καὶ ἐπίγραμμα, χίλια πόκα βιβάντι
πλεῖστα δὴ τῶν πῆ ποκα. *τὰς δὲ πινακίδας ὠρχοῦν- 103
το οὐκ οἶδα εἴτ' ἐπὶ πινάκων, εἴτε πίνακας φέρον-
τες. τὸ γὰρ κερνοφόρον ὄρχημα οἶδα ὅτι λίκνα, ἢ ἐ-
σχαρίδας ἔφερον. κέρνα δὲ ταῦτα ἐκαλεῖτο. τὸ δὲ Ἰω-
νικὸν Ἀρτέμιδι ὠρχοῦντο Σικελιῶται μάλιστα. τὸ δὲ
ἀγγελτικὸν ἐμιμεῖτο σχήματα ἀγγέλων. ὁ δὲ μορφα-
σμὸς παντοδαπῶν ζώων μίμησις ἦν. ἦν δέ τι καὶ
σκώψ. τὸ δ' αὐτὸ καὶ σκωπίας, εἶδος ὀρχήσεως, ἔχον
τινὰ τοῦ τραχήλου περιφορὰν κατὰ τὴν τοῦ ὄρνιθος
μίμησιν, ὃς ὑπ' ἐκπλήξεως πρὸς τὴν ὄρχησιν ἁλίσκε-

ἀνδρικὸς, κωμικὸς, τραγικός. καὶ ἡμιχόριον δὲ, καὶ
διχορία, καὶ ἀντιχορία. ἔοικε δὲ ταυτὸν εἶναι ταυτὶ
τὰ τρία ὀνόματα. ὁπόταν γὰρ ὁ χορὸς εἰς δύο διαιρε-
θῇ, τὸ μὲν πρᾶγμα καλεῖται διχορία, ἑκατέρα δὲ μοῖ-
ρα ἡμιχόριον. ἃ δὲ ἀντᾴδουσιν, ἀντιχορία. τριχορίαν
δὲ Τυρταῖος ἔστησε, τρεῖς Λακώνων χορούς, καθ'
ἡλικίαν ἑκάστην, παῖδας, ἄνδρας, γέροντας. ἐπὶ δὲ χο-
ροῦ, καὶ συμφωνία, καὶ συνῳδία, καὶ συναυλία.
*καὶ ἡ μὲν εἴσοδος τοῦ χοροῦ, πάροδος καλεῖται. ἡ 108
δὲ κατὰ χρείαν ἔξοδος, ὡς πάλιν εἰσιόντων, μετάστα-
σις. ἡ δὲ μετ' αὐτὴν εἴσοδος, ἐπιπάροδος. ἡ δὲ τελεία
ἔξοδος, ἄφοδος. καὶ ἐπεισόδιον δὲ ἐν δράμασι πρᾶ-
γμα πράγματι συναπτόμενον. καὶ μέλος δέ τι ἐξόδιον,
ὃ ἐξιόντες ᾖδον. Μέρη δὲ χοροῦ, στοῖχος, ζυγός. καὶ
τραγικοῦ μὲν χοροῦ, ζυγὰ πέντε ἐκ τριῶν. καὶ στοῖ-
χοι τρεῖς ἐκ πέντε. πεντεκαίδεκα γὰρ ἦσαν ὁ χορός.
*καὶ κατὰ τρεῖς μὲν εἰσῄεσαν, εἰ κατὰ ζυγὰ γίγνοιτο 109
ἡ πάροδος. εἰ δὲ κατὰ στοίχους, ἀνὰ πέντε εἰσῄεσαν.
ἔσθ' ὅτε δὲ καὶ καθ' ἕνα ἐποιοῦντο τὴν πάροδον. ὁ
δὲ κωμικὸς χορὸς τέτταρες καὶ εἴκοσιν οἱ χορευταὶ,
ζυγὰ ἕξ. ἕκαστον δὲ ζυγὸν ἐκ τεττάρων. στοῖχοι δὲ
τέσσαρες, ἓξ ἄνδρας ἔχων ἕκαστος. ὁπότε μὲν ἀντὶ
τετάρτου ὑποκριτοῦ δέοι τινὰ τῶν χορευτῶν εἰπεῖν
ἐν ᾠδῇ, παρασκήνιον καλεῖται τὸ πρᾶγμα. *εἰ δὲ τέταρ- 110
τος ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγη-
μα ἐκαλεῖτο. καὶ πεπρᾶχθαί φασιν αὐτὸ ἐν Ἀγαμέ-
μνονι Αἰσχύλου. τὸ δὲ παλαιὸν ὁ τραγικὸς χορὸς
πεντήκοντα ἦσαν, ἄχρι τῶν Εὐμενίδων Αἰσχύλου.
πρὸς δὲ τὸν ὄχλον αὐτῶν τοῦ πλήθους ἐκπτοηθέντος,
συνέστειλεν ὁ νόμος εἰς ἐλάττω ἀριθμὸν τὸν χορόν.

## *ΚΕΦΑΛΑΙΟΝ Iϛ. 111

### *Περὶ χορικῶν ᾀσμάτων.*

Τῶν δὲ χορικῶν ᾀσμάτων τῶν κωμικῶν ἕν τι
καὶ ἡ παράβασις, ὅταν ἃ ὁ ποιητὴς πρὸς τὸ θέατρον

104 ται. * ὁ δὲ λέων, ὀρχήσεως φοβερᾶς εἶδος. ἦν δέ τι-
να καὶ Λακωνικὰ ὀρχήματα, δειμαλέα. Σειληνοὶ δ'
ἦσαν, καὶ ἐπ' αὐτοῖς Σάτυροι, ὑπότροχα ὀρχούμε-
νοι. καὶ ἴθυμβοι ἐπὶ Διονύσῳ. καὶ καρυατίδες ἐπὶ
Ἀρτέμιδι. καὶ βαρύλλικα, τὸ μὲν εὕρημα Βαρυλλίχου,
προσωρχοῦντο δὲ γυναῖκες Ἀπόλλωνι καὶ Ἀρτέμιδι.
οἱ δὲ ὑπογύπωνες, γερόντων ὑπὸ βακτηρίαις τὴν μί-
μησιν εἶχον. οἱ δὲ γύπωνες, ξυλίνων κώλων ἐπιβαί-
νοντες, ὠρχοῦντο, διαφανῆ ταραντινίδια ἀμπεχόμενοι.
καὶ μῆνες, Χαρίνων μὲν ὄρχημα, ἐπώνυμον δ' ἦν
τοῦ εὑρόντος αὐλητοῦ. τυρβασία δὲ ἐκαλεῖτο τὸ ὄρ-
105 χημα, τὸ διθυραμβικόν. * μιμητικὴν δὲ ἐκάλουν, δι' ἧς
ἐμιμοῦντο τοὺς ἐπὶ τῇ κλοπῇ τῶν ἑώλων μερῶν
ἁλισκομένους. λαμπροτέραν δὲ, ἣν ὠρχοῦντο γυμνοὶ
σὺν αἰσχρολογίᾳ. ἦν δὲ καὶ τὸ σχίστας ἕλκειν, σχῆμα
ὀρχήσεως χορικῆς. ἔδει δὲ πηδῶντα ἐπαλλάττειν τὰ
σκέλη. καὶ μὴν τραγικῆς ὀρχήσεως τὰ σχήματα, σιμὴ
χείρ, ὁ καλαθίσκος, χεὶρ καταπρανὴς, ξύλου παράλη-
ψις, διπλῆ, θερμαΰστρὶς, κυβίστησις, παραβῆναι τέτ-
ταρα. ὁ δὲ τετράκωμος, τὸ τῆς ὀρχήσεως εἶδος, οὐκ
οἶδα εἴ τι προσῆκον ἦν τοῖς Ἀθήνῃσι τετρακώμοις,
οἳ ἦσαν, Πειραιεῖς, Φαληρεῖς, Ὀξυπετεῶνες, Θυμοι-
τάδαι, καὶ τὰ λοιπά.

## 106 * ΚΕΦΑΛΑΙΟΝ ΙΕ.

### *Περὶ χοροῦ, χορευτοῦ, καὶ τῶν τοιούτων.*

Τούτοις δ' ἂν προσήκοι χοροποιία. χοροστασία,
χορικὸν μέλος, χορεῦσαι, χορευτὴς, συγχορευτής. χο-
ρηγὸς, χορηγία. χορήγιον ὁ τόπος, οὗ ἡ παρασκευὴ
τοῦ χορηγοῦ. πρόσχορον δὲ, καὶ συγχορεύτριαν εἴρη-
κε τὴν χορεύουσαν Ἀριστοφάνης. ἡγεμὼν χοροῦ, κο-
ρυφαῖος χοροῦ, χορολέκτης, χοροποιὸς, διδάσκαλος,
ὑποδιδάσκαλος, χοροδιδάσκαλος, δεξιοστάτης, ἀριστε-
ροστάτης, λαιοστάτης, τριτοστάτης. καὶ τὴν γυναῖκα
107 δὲ, τριτοστάτιν Ἀριστοφάνης καλεῖ. * παιδικὸς χορὸς,